1 ᾖ] εἰ cod. καταπλακίνε cod. : καταπλακῆνε vel καταπλακῆν = καταπλακῇ (subi. aor. II pass.). πονιρῖς cod. 2 πενδερικά cod. εὐχαρισθήσετε cod. 3 ἴκου cod. 5 κακῶν cod. λιφθίσετε cod. 7 ἐσθίην cod. ἐργάζεσται cod. 9 οἰκείοις scripsi : ἱκανοῖς cod. ᾖς] ἰ cod. 12 ἔστοι cod. 13 ἐστιν καί inserui. μεσοήλικη transp. post ἐσθίην v. 14 cod. in his opusculis ἡλικία = statura. 14 γυναῖκα nomin. cas. serm. vulg. 17 διελθών cod. 21 num συνεσταλμένος scribendum ? 22 φάγην = φάγῃ : cf. v. 1. οὐδενὸς scripsi : οὐδαμῶς cod. 23 λυπήσῃ] num λείψῃ scribendum ? 25 βοηθῶν cod. 25-26 εἴ τι] εἶτε cod. 27 εὐχαρίσθισαντε cod. 28 ἀκέρεων cod. δικάσιμον] + οὐ cod. καί : cf. p. 102, 16. 29 ἀπό] ἐπί cod.

ὅτι ἀπὸ ἄνθρωπον ἔλαβες καὶ ἐκ Θεοῦ δόξα ἐπέλθῃ ἐπὶ σὲ ἐπὶ ὀλίγον καιρόν · καὶ δοξάσεις τὸν Θεόν. ὅταν πληρωθῶσιν ἔτη λε', ἕξεις ἡμέρας ἀγαθὰς καὶ ἐν τῷ οἴκῳ σου εὐχαριστηθῇς. πόδας πονέσει. εἰς πᾶσαν τέχνην εὐμαθής, τέλειος τὴν ἡλικίαν. εἰς γυναῖκα λυπηθήσεται · ἀγαπήσει καὶ οὐ μὴ λάβῃ αὐτήν. φυλασσέσθω αὐτὸν ἀπὸ τοῦ τρέχειν καὶ τοῦ πλέειν, εἰς ὕψος μὴ ἀναβαίνειν. ἀλλότριαν χώραν περιπατήσει. ὑπὲρ φίλων τὴν ψυχὴν αὐτοῦ θύσει καὶ οὐκ εὐχαριστηθήσεται. εἰς ὕπανδρον γυναῖκα καταπλακήσεται · ὑπομενεῖ καὶ ὀρφανίαν δουλεύσει. ἔσται ἐρωτικός · [f. 7] γράμματα μάθῃ · ὅταν δὲ γηράσῃ, τελειοῦται. ὑπὸ μεγάλων ἀνθρώπων τιμηθήσεται. ἔσται ἐλεημονητικός. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ κρυπτοῦ.

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Ταύρου ἔσται εὔμορφη. ἐλαίαν ἕξει μέσον τῶν δύο μαστῶν καὶ <ἐπὶ> τοῦ τραχήλου καὶ τοῦ προσώπου. ἔστιν οἰκονομητική, θεοσεβήτρια, φρόνιμη, ἔχουσα τὰ μέλη καθαρά. ὑπὸ πολλῶν ζηλευθήσεται καὶ ὕστερον ἁρμοσθήσεται ἄνδρα χρήσιμον καὶ πολλὰ χαροποιηθήσεται · ἀλλὰ δι' ἑνὸς λόγου καὶ ψόγου ταραχθῆνε ὁ οἶκος αὐτῆς ἐν κακοῖς καὶ λυπηθήσεται ἐπὶ ὀλίγας ἡμέρας καὶ ὕστερον ἡ λύπη εἰς χαρὰν στραφήσεται. ὅταν ἀρρωστήσῃ ἂς λειτουργῇ τὴν ὑπεραγίαν Θεοτόκον καὶ ἂς ἀλείφεται ἔλαιον ἐκ τῆς κανδήλας αὐτῆς καὶ ἰαθήσεται. φυλασσέσθω ἀπὸ ἀγρίων θηρίων καὶ ἀνημέρων, ἀπὸ βροντῆς καὶ ἀστραπῆς. ἂς προσέχῃ ἀπὸ μιᾶς γυναικὸς μελαγχρινῆς τὸ πρόσωπον, ἐπὶ μέρος [f. 7v] δεξιὸν εἴτε ἐν καθίσματι εἴτε ἐν ἐργασίᾳ · καὶ τὸ μυστήριον ὃ ἔχεις ἐν τῇ διανοίᾳ σου μὴ δώσῃς ἐπ' αὐτήν, καὶ μένεις ἄνευ λύπης καὶ βλάβης. ἐκ τῶν ἰδίων λυπηθήσεται · παιδία καλὰ ποιήσει, ἀλλὰ εἰς ἕνα λυπηθήσεται. καθαρὰν ψυχὴν <ἔχει>. καὶ ὁ ἀνὴρ αὐτῆς πλουτήσει καὶ εὐτυχήσει. τὸ γάλα αὐτῆς λειφθήσεται. φυλασσέσθω αὐτὴν ἀπὸ ἀνθρώπων ἐπιλαλούντων. ἔσται ἐρωτική, ἀκατάδεκτη. ἂς φορῇ φυλακτήριον λόγους Θεοῦ καὶ οὐ μὴ κινδυνεύσῃ. πρῶτον ἄνδρα θάψει ἢ χωρισθήσεται καὶ μετὰ ἄλλον

1 ἔλαβες : num ἐβλάβης scribendum ? δόξαν cod. 3 οἶκον cod. 6 τοῦ] τό cod. ἀναβένιν cod. 7 ἀλότρια cod. φίλον cod. 8 θύσει: cf. pp. 102, 14 et 103, 13. 15 ἐπί inserui. 16 ἔστιν scripsi : ἴ cod. οἰκονομετική cod. ἔχων cod. 19 ταραχθῆνε : cf. p. 104, 1. 22 ἄγριον cod. 23 ἀνίμερον cod. 24 μελαχρινῖς cod. 25 εἴτε.. εἴτε] μίτε... μίτε cod. καὶ τό scripsi : μι (expunctum) ἡ εἰς cod. 26 num μενεῖς ? 28 καθαρὰ ψυχή cod. ἔχει inserui. 29 λιφθίσετε cod.

συνοικήσει. εἰς τὴν γένναν αὐτῆς λυπήσει ἰδίους καὶ κίνδυνον διαβάσῃ· ὑπάρχει δὲ φρόνιμη, σῶμα ἔχουσα καθαρὸν καὶ ἐπιδέξιον. χηρεύσει ἐτῶν λ΄· κινδυνεύσει, ἀλλὰ σωθήσεται. πολύτεκνή <ἐστι καὶ> καθαρά. ἀσθένειαν ἔχει ἀπὸ τῆς γεννήσεως αὐτῆς ἐτῶν ε΄, η΄, ιθ΄, κε΄, λε΄· ταῦτα διελθοῦσα ζήσει ἔτη πη΄· ὅταν δὲ ἀρρωστήσῃ, ἂς ἀλείφεται ταύρου ὀξύγγιον· καὶ ὅταν εἰς ἀνάγκην ἐμπέσῃ, ἂς λειτουργῇ[f. 8] *τὴν ἁγίαν εἰκόνα καὶ οὐ μὴ κινδυνεύσῃ.*

Μάϊος ἔχει ζώδιον τοῦ Διδύμου.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Διδύμου· ἡ ἀγαθή του ἡμέρα εἶναι τετάρτη· ἂς προσέχῃ τὴν ς΄ τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον. εἰς δὲ κρίσιν δεξιὰ στάσου· δακτυλίδι σιδηροῦν φόρει· ζῶα μαῦρα φύλαττε. ἀπὸ τῆς γεννήσεως αὐτοῦ ἕως ἐτῶν ε΄ ἔσται φιλάσθενος. ἀνὴρ θυμώδης καὶ ἐπίορκος, ὑπὸ πολλῶν γυναικῶν ἀγαπώμενος, ἐκ τῶν ἰδίων πολεμηθήσεται. ἀπὸ ξίφος φόβον ἕξει καὶ ἀπὸ ποταμόν. ξενιτεύσει, ἀλλ' εἰς τὰ ἴδια στραφήσεται καὶ κύριος ἀκουσθήσεται πολλῶν πραγμάτων. γυνὴν οὐ κερδίσει. ἔσται φιλοτράπεζος, εἰς τοὺς ἰδίους ὀξύς, εἰς τοὺς ξένους καλός. ὁ θάνατος αὐτοῦ ἐκ τοῦ πλευροῦ ἔσται· σταυρίον καὶ κεφαλὴν καὶ ὀδόντας πονέσει. ἔσται μικρόφθαλμος, πλατυπώγωνος, προγνωστικός, ὑπορόδινος. πράγματα ἀποτάξει· ἐὰν δανείσῃ, χαρίσει αὐτά. ἔσται ἐρωτικός. ὀφθαλμοὺς [f. 8ᵛ] *πονέσει. γράμματα μάθῃ. σημεῖον ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ στήθους καὶ τοῦ πώγωνος. ἀπὸ ἀστραπῆς καὶ βροντῆς φόβον ἕξει. ἀπὸ τῆς γεννήσεως αὐτοῦ ἐτῶν ε΄, θ΄, ιη΄, κε΄, λε΄ <ἀρρωστίαν ἕξει>· ἐὰν ταῦτα διέλθῃ, ζήσει ἔτη πε΄· ὅταν ἀρρωστήσῃ βοτάνι αὐτοῦ ἐστιν δίδυμος ἄνθρωπος, ἵνα πιάσῃ τὴν κεφαλὴν αὐτοῦ· καὶ ἂς λειτουργῇ τὸν ἅγιον Κωνσταντῖνον καὶ οὐ μὴ ἐπέλθῃ εἰς κίνδυνόν ποτε.*

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Διδύμου ἐστὶν λιγνοδάκτυλη. ἀπὸ τῆς γεννήσεως αὐτῆς ἕως ἐτῶν ε΄ ἔσται φιλάσθενη· γοργὴ πρὸς τοὺς ἰδίους καὶ ξένους· ἀλλὰ ἀπὸ ἀνθρώπων χάριν

4 *ἐστι καί* addidi. *ἀπό*] *ἐπί* cod. 5 *διελθών* cod. 10 *τετάρτη*] *δ΄* cod. 13 *φιλάσθενος* scripsi : *φυλασόμενος* cod. 16 *γυνί* cod. cf. infra, p. 111, 28. 20 *ὑποτάξει* cod. 22 *στῆθος* cod. 24 *ἀρρωστίαν ἕξει* inserui. 32 *ἄν(θρωπ)ον* cod.

οὐ μὴ λάβῃ, εἰ μὴ ἀπὸ Θεοῦ ἐστιν. εἰς τὸν ἄνδρα πικρή. φυλασσέσθω ἀπὸ ποταμόν. καὶ πλησθήσεται πλούτου καὶ δόξης πολλῆς· μία γυνὴ λαλεῖ πάντα ῥήματα πονηρὰ κατ' αὐτῆς ἐπὶ νυκτὸς πρὶν ἀλέκτωρ φωνήσῃ. οὐ γινώσκεις <αὐτήν>· ἐπικαλοῦ τὴν Θεοτόκον καὶ ἐκλείψει ἀπὸ τοῦ οἴκου σου πᾶν κακὸν καὶ δὲν θέλει λείψει ἀπὸ τοῦ οἴκου σου πλοῦτος καὶ δόξα· καὶ νὰ δοξάσῃς τὸν Θεόν. τὸ ἔργον ὃ βούλει [f. 9] *ποιεῖν, ποίησον αὐτὸ καὶ μὴ δειλιᾷς, ὅτι ὁ Θεὸς βοηθός σου εἶναι καὶ ὁδηγήσει σε εἰς πᾶν ἔργον ἀγαθὸν καὶ δοξάσεις αὐτόν. σημεῖον ἔχει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ στήθους. ἐν τῇ γέννᾳ αὐτῆς λυπήσει ἰδίους. μασθὸν πονέσει πολλά. ἀπὸ τῆς γεννήσεως αὐτῆς ἕως ἐτῶν η΄ πολλὰ πάθῃ. φυλασσέσθω αὐτὴν ἀπὸ πυρὸς καὶ ἀπὸ ἀνθρώπων ἐπιλαλούντων. ἔστι χαροποιά, ἐπιδέξια· καταπλακῆνε ἀδίκως πολλά· φιλόκαλη. εἰς ἄνδρα λυπηθήσεται· ἀγαπήσει καὶ οὐ λάβῃ αὐτόν. ἢ χηρεύσει ἢ χωρισθήσεται καὶ ἀπόχηρον λάβῃ. ἐλάφου κρέας μὴ ἐσθιέτω. τὰ πατρικὰ οὐ μὴ κληρονομήσῃ· ἐξ οἰκίας αὐτῆς κτήσει βίον. ἐλαίας ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ στήθους καὶ τοῦ προσώπου. μασθοὺς πονέσει, σταυρίον καὶ κεφαλήν· πρόσεχε ἀπὸ ἀνθρώπων λαλούντων. χαροποιά <ἐστιν>. ὁ δὲ Θεὸς δοξάσει αὐτὴν. εἰς τὴν γένναν αὐτῆς, ἀποκλαύσονται αὐτήν. παιδία καλὰ ποιήσει καὶ ἕνα παιδίον κυλλωθήσεται. πόνον ἕξει ἀπὸ καρδίας καὶ στομάχου. ἐλεημονητική <ἐστιν> καὶ προσχαρὴς* [f. 9ᵛ] *<καὶ> θεοσεβής. ἀρρωστίαν ἕξει ἀπὸ τῆς γεννήσεως αὐτῆς ἐτῶν η΄, ιβ΄, κθ΄, λδ΄· ταῦτα διελθοῦσα ζήσει ἔτη πε΄· ἡ ἀγαθή της ἡμέρα εἶναι τετάρτη· πρόσεχε τὴν παρασκευήν. ὅταν ἀρρωστήσῃ, ἂς λειτουργῇ τὴν ἁγίαν Ἑλένην καὶ οὐ κινδυνεύσει.*

Ἰούνιος ἔχει ζώδιον Καρκίνον.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Καρκίνου· ὁ θάνατος αὐτοῦ ἐν μετανοίᾳ γενήσεται. θάνατον πατρὸς πρῶτον ἴδῃ. ἡ ἀγαθή του ἡμέρα εἶναι κυριακή. πρόσεχε τὴν δ΄ ἡμέραν τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον. εἰς δὲ κρίσιν δεξιὰ στάσου· ῥοῦχα ἄσπρα φόρει καὶ δακτυλίδι ἀργυροῦν. ἔστιν ἄνθρωπος ἐλεημονητικός· τὴν ψυχὴν αὐτοῦ θύσει ὑπὲρ τοὺς ξένους καὶ πτωχοὺς καὶ φίλους καὶ πολλὴν εὐχαριστίαν λαμβάνει ἐκ Θεοῦ καὶ ἀνθρώπων. ἔσται ἁπλὸς καὶ καθαρός. ὀλίγα ἐργάζεται καὶ

4 *αὐτήν* inserui. 16 *ἰκίας* cod. 19 *ἐστιν* inserui. 21 *κιλιωθήσεται* cod. 22 *ἐστιν* inserui. num *περιχαρής* legendum ? *καί* inserui. 24 *διελθών* cod. 25 *τετάρτη*] *δ΄* cod. 32 *ἀργιρόν* cod. 33 *θύσει* : cf. pp. 102, 14, 103, 13, 105, 8. 34 *λαμβάνιν* cod.

πολλὰ κερδίζει διότι ἐν κακίᾳ οὐ μένει. γράμματα μάθη καὶ ὑπὸ πολλῶν ζηλευθήσεται καὶ πολλῶν ἱκανῶν πραγμάτων ἐμπλησθήσεται καὶ ὑπὸ μεγάλων ἀνθρώπων τιμηθήσεται. ἐν τῷ οἴκῳ αὐτοῦ δοξάσει τὸν Θεόν. καὶ ἐπὶ τέκνοις λυπηθήσεται καὶ ἐκ τῆς λύπης [f. 10] *γενήσεται ἀσθενής. ἂς φορῇ φυλακτήριον λόγους Θεοῦ καὶ θέλει ἀναμείνῃ τοὺς ἀντιδίκους αὐτοῦ πάντας. πρόσεχε ἀπὸ ἀνθρώπων ἀδίκων ὅτι λαλοῦν λόγους πονηροὺς κατὰ σοῦ· καὶ σὺ οὐ γινώσκεις αὐτούς· ἐμπλακῇς θέλεις ὑπ' αὐτῶν ὀλίγας ἡμέρας, ἀλλὰ σωθήσῃ ἐξ αὐτῶν. ἐτῶν ιη' ταράξει τὴν πατρικὴν αὐτοῦ οἰκίαν διὰ γυναῖκα· ἐκ τῶν ἰδίων χωρισθήσεται. ἔσται μεσοήλικος, λευκόχροος, ἀναφάλαντος, μηδενὸς ἐντρεπόμενος, ἄοκνος, καθάριος. λυπήσει ἰδίους· χρήματα ἀλλότρια κτήσεται. ἀλλότρια βήματα καὶ μεγάλα ἕξει. πόδας πονέσει, νεφρὰ καὶ ἧπαρ καὶ στόμαχον. ἐλάφου κρέας μὴ ἐσθιέτω μηδὲ κρομμύδια. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ στήθους καὶ τοῦ κρυπτοῦ. ἔσται ἰδιόπεισμος, γυναικομανής. μετοικήσει τοὺς γονεῖς αὐτοῦ ἐκ τῆς ἰδίας πόλεως καὶ πάλιν εἰς τὰ ἴδια στραφήσεται. ἀπὸ χειμῶνα κίνδυνον διαβάσῃ καὶ ἀπὸ δένδρου φόβον ἕξει. εἰς δικαστήριον οὐ μὴ νικηθῇ. φυλασσέσθω αὐτὸν ἀπὸ ποταμόν, ἀπὸ ξίφος καὶ φάρμακον. διγαμήσει· εἰς ὕπανδρον γυναῖκα* [f. 10v] *καταπλακήσεται καὶ ζημιωθήσεται· ὅρκον ζητήσει αὐτὸν γυνὴ καὶ ὑπομενεῖ γυναικὸς πόνον. ἀρρωστίαν ἕξει ἀπὸ τῆς γεννήσεως αὐτοῦ ἐτῶν γ', ιβ', μβ', νβ' · ταῦτα διελθὼν ζήσει ἔτη πβ' · ὅταν ἀρρωστήσῃ, ἂς ἀλείφεται μετὰ ἐλαίου καὶ ὀξυγγίου· καὶ ἂς λειτουργῇ τοὺς ἁγίους Ἀναργύρους καὶ τοὺς ἁγίους Ἀποστόλους Πέτρον καὶ Παῦλον καὶ οὐ κινδυνεύσει.*

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη <ἐν καιρῷ> ζωδίου τοῦ Καρκίνου ἔσται διωρθωμένη τῷ σώματι, τρανὴ τῷ φρονήματι· ἐπαύξει τοῦ βίου· ἐλεημονητική, θεοσεβίστρια. θόρυβον οὐκ ἀγαπᾷ· καὶ λαμβάνει ἐκ Θεοῦ πλῆθος ἀγαθῶν καὶ εὐχαριστίαν ἐξ ἀνθρώπων· οὐ λείψει ἡ ἐλεημοσύνη τοῦ Θεοῦ ἐκ τοῦ οἴκου αὐτῆς. ἐν τῷ τόπῳ ὅπου ἐγεννήθη οὐ μὴ τελευτήσῃ. ὁ θάνατος αὐτῆς ἐκ τοῦ πλευροῦ ἔσται. μυστήριον τῆς ἰδίας ψυχῆς εἰς ἄνθρωπον μὴ θαρρείτω. ἐλάφου

7 *ἄν(θρωπ)ον ἀδίκον* cod. 11 *μεσο εἴλικως* cod. *ἀναφάλανδρος* cod.: cf. p. 102, 5. 15 *στίθος* cod. 19 *αὐτῶν* cod. 20 *ποταμῶν* cod. *φάρμακος* cod. 22 *αὐτῶν* cod. 24-25 *ἐλαίου καί* ex *λέοντος* corruptum suspicor: cf. p. 102. 27 *γυναικός*] + *ζώδιον* cod. 28 *ἐν καιρῷ* inserui. *ζωδιων* cod. 30 *θεοσεβίστρια*: alias *θεοσεβήτρια*. 31 *ἀγαθόν* cod. 33 *οὐ μή*] *ὁμί* cod.

κρέας μὴ ἐσθιέτω· κυριακὴν μὴ φάγῃ ἕως ὥρας λειτουργίας καὶ οὐ μὴ λυπηθήσεται. ἔσται τὰ κτήνη αὐτῆς ὀφθαλμόκαυστα διὰ τὴν ζηλίαν τῶν πονηρῶν ἀνθρώπων. ὁ Θεὸς δώσει σοι πλοῦτον καὶ [f. 11] *δόξαν τῷ Θεῷ ἀποδώσεις. τὸ ὅραμά σου μηδαμῶς ὑποδείξῃς μήτε <εἰς> ἐδικὸν μήτε εἰς ξένον. πρόσεχε ἀπὸ ὕψος μήποτε πέσῃ λίθος ἐπὶ κεφαλήν σου καὶ λυπηθῇς. θῦσον θυσίαν τὸν τίμιον Σταυρὸν καὶ λυτρωθῇς ἀπὸ παντὸς κακοῦ καὶ δοξάσεις τὸν Θεόν. ἔσται τῇ ἡλικίᾳ μεσαία, ξανθότριχη. εἰς γονικὴν μοιρασίαν τοὺς ἀδελφοὺς αὐτῆς οὐκ ἐλεήσει. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ προσώπου καὶ τοῦ στήθους. ἀγαπήσει ἄνδρα καὶ οὐ λάβῃ αὐτόν· εἰς πολλοὺς ἄνδρας προξενηθήσεται· γυνὴ κακὴ ἀπὸ ἔξωθεν πολεμήσει αὐτήν. ἀπὸ κακὸν ὀφθαλμὸν τὸ γάλα της λειφθήσεται. καὶ πονέσει ἁρμοὺς καὶ ἀπὸ ζηλίαν πονέσει ἧπαρ. φυλαττέσθω ἀπὸ πυρὸς καὶ ἀπὸ ἀνθρώπων καταλαλούντων. τὸ ἔργον τοῦ οἴκου αὐτῆς αὔξησιν ἔχει. ἔστιν ἐρωτική. καταπλακῇνε ἀδίκως πολλὰ καὶ εἰς μεγάλην ἀνάγκην ἐμπέσῃ, ἀλλὰ σωθήσεται. ἔσται περιχαρής. ἀπογνώσονται αὐτὴν πάντες, ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλείπῃ αὐτήν· ἂς φορῇ φυλακτήριον λόγους Θεοῦ καὶ οὐ μὴ κινδυνεύσῃ. ἀρρωστίαν ἕξει ἀπὸ* [f. 11v] *τῆς γεννήσεως αὐτῆς ἐτῶν δ', ζ', ιε', ιθ', λς', μβ' · ταῦτα διελθοῦσα ζήσει ἔτη πδ' · ὅταν ἀρρωστήσῃ, ἂς λειτουργῇ τὸν ἅγιον Θεόδωρον καὶ οὐ κινδυνεύσει.*

Ἰούλιος ἔχει ζώδιον Λέοντα.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Λέοντος· ἡ ἀγαθή του ἡμέρα εἶναι ἡ παρασκευή. πρόσεχε τὴν τρίτην τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον. εἰς δὲ κρίσιν δεξιὰ στάσου, καὶ εἴ τι εἴπῃς, νικᾷς. ἐτῶν ς' ἀρρωστήσει, ἀλλὰ σωθήσεται. γίνεται ἀνὴρ σιγηλὸς καὶ καθάριος . ὑπὸ δ' ἑνὸς ἀνθρώπου τὰ βάρη βαστάζει καὶ ἐν κακίᾳ οὐ μενεῖ. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ στήθους καὶ τοῦ κρυπτοῦ. αὐτὸς δὲ οὐκ ἐλεηθήσεται ὑπό τινος, εἰ μὴ ὑπὸ Θεοῦ. ἐκ τῶν ἰδίων πολεμηθήσεται· ξενιτεύσει καὶ εἰς ἄλλην χώραν ἐπέλθῃ· καὶ πάλιν εἰς τὰ ἴδια στραφήσεται καὶ κύριος ἀκουσθήσεται πολλῶν πραγμάτων· καὶ ἀπὸ ἑνὸς ἀνθρώπου θεο-

1 *κυριακί* cod. 4 *τῷ Θεῷ ἀποδώσεις* scripsi: *ὁ θεὸν καὶ νοῆς* cod. 5 *ὑποδείξεις*] + *αὐτῷ* cod. *εἰς* inserui. 6 *πεσόν* cod. 9 *μερασίαν* cod. 12 *κακῶν ὀφθαλμῶν* cod. 20 *διελθών* cod. 22 *λέων* cod. 25 *εἴ τι* serm. vulg. = *ὅ τι*. 26 *σιγιρός* cod. 30 *ὑπό*] *ἀπό* cod. *τοὺς ἰδίους* cod.: cf. p. 114, 16. 32 *ἀπό*] *ὑπό* cod.

σεβοῦς δόξαν καὶ χαρὰν λάβῃ. εἰς ὕψος μὴ ἀναβῇ. ἀπὸ πυρὸς φόβον ἕξει. πρόσεχε ὅταν περιπατῇς νυκτός, ὕδωρ μὴ πίνῃς καὶ θλιβῇς. ὑπὸ τέκνοις δόξαν λάβῃ καὶ πάλιν λυπηθήσεται. σταυρίον [f. 12] πονέσει, πόδας λάβῃ καὶ κεφαλὴν πονέσει. τὸ ὄνειρόν σου μηδενὸς τὸ εἴπῃς. εἰς τὴν ξηρὰν γῆν ἐὰν ἔλθῃ, οὐ μὴ στραφῇ κενός · εἰς τὴν οἰκίαν αὐτοῦ οὐκ εὐχαριστηθήσεται. νεφρὰ πονέσει καὶ ὀδόντας. φυλασσέσθω αὐτὸν ἀπὸ σκορπίου καὶ ὄφεως. ἐὰν στρατεύσῃ, ἕξει καλῶς. αὐλὴν βασιλικὴν περιπατήσει · γράμματα μάθῃ. γυναῖκας πολλὰς ἀγαπήσει καὶ εἰς μεγάλην ἀνάγκην ἐμπέσῃ, ἀλλὰ σωθήσεται. ἔστι περίχαρος, εἰς πρᾶξιν μηδὲν ἀποστελλόμενος, ἄοκνος. μυστήριον ἀνθρώπου μὴ θαρρήσῃ. ὑπὸ μεγάλων ἀνθρώπων τιμηθήσεται. ἀπὸ σκύλου δαγκωθήσεται. ἀπὸ δαιμόνιον καὶ ἐπιδρομὴν ἐθνῶν ἐστιν ἐπίφοβος. χεῖρας καὶ πόδας ἐκκοπῇ. ἀρρωστίαν ἕξει ἀπὸ γεννήσεως αὐτοῦ ἐτῶν ε΄, η΄, ιδ΄, κε΄, λβ΄, μη΄ · ταῦτα διελθὼν ζήσει ἔτη πς΄. ὅταν ἀρρωστήσῃ βοτάνι αὐτοῦ ἐστι ζυγοῦ ἀπόξεσμα · καὶ ἂς λειτουργῇ τὸν ἅγιον Μερκούριον καὶ οὐ κινδυνεύσει.

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Λέοντος εὐνοστοσύντυχη, ἐπιδέξια, μεγαλόφθαλμη, [f. 12v] μελαγχρινὴ τὸ πρόσωπον · καὶ διὰ τὸ μετριάζειν περὶ πάντας, λυπηθήσεται ἐν πονηροῖς ἀνθρώποις, μάλιστα ἐν γυναιξί · καὶ ἐπὶ ὀλίγον καιρὸν χαροποιηθήσεται πολλὰ διότι ἄδικον τὸ ἐνθύμημα αὐτῶν καὶ μενεῖ δεδοξασμένη διότι ἐλπίδας ἔχει εἰς τὸν Θεόν. ἔσται γυνὴ πολυμέριμνος, βιωτική, τοῦ καθημερινοῦ ἄρτου ἀδιάλειπτος ἐν τῷ οἴκῳ αὐτῆς · ἀλλὰ πονέσει κεφαλὴν καὶ ὀφθαλμοὺς διὰ τὴν ζηλίαν αὐτῆς. ἔσται ὀξεῖα πρὸς ὥρας. πρόσεχε ἀπὸ ὥρας ἐνάτης τοῦ σαββάτου ἕως δευτέρας ἐπιφαύσκοντος Ἡλίου, μὴ ἐργάζου. τέξεται παιδία καλά, ἀρσενικὰ τρία καὶ τρία κορίτζια, καὶ ἕνα ἀποβάλεται. μασθὸν πονέσει · τὸ γάλα της λειφθήσεται. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου

1 ἀπό] ὑπό cod. 3 ὑπό] coniciam ἐπί : cf. pp. 103, 2, 108, 4. λάβις cod. 4 λάβῃ saepe usurpatur sensu : vulnerabitur (vulg. serm. λαβωθῇ) ; cf. *Catal.*, IV, pp. 159, 8, 161, 20, 163, 13, 166, 27, etc. et infra in hoc ipso opusculo. 5 στραφῇς cod. 6 num οἰκείαν scil. γῆν, legendum ? εὐχαρισθήσεται cod. 13 δαιμονικόν cod. 14 ἐκόψι cod. 18 γυναικός] + λέων cod. 19 ἐμνοστοσύντυχι cod. : cf. p. 113, 15. 20 μελαχρίνη cod. 21 μετριάζειν = iocari. 22 ὀλίγων καιρῶν cod. 26 αὐτῆς] nonne αὐτῶν, scil. τῶν πονηρῶν ἀνθρώπων, v. 21 legendum ? 28 ἐπιφασκούσις cod. 30 ἀποβάλεται futuri forma videtur esse.

καὶ τοῦ προσώπου. γυνὴ κακὴ ἀπὸ ζηλίαν πολεμήσει αὐτὴν καὶ ποιήσει χρόνον ἀρρωστῆσαι. εἰς βουλὰς γυναικῶν μὴ ἐμπέσῃς καὶ κινδυνεύσεις. ἀπὸ σκύλων δαχθήσεται · ἂς φορῇ φυλακτήριον λόγους Θεοῦ καὶ οὐ κινδυνεύσει. παιδία χάσῃ καὶ οὐ λυπηθήσεται. ἄνδρα ἀπὸ χηρείαν λάβῃ καὶ οὐκ εὐχαριστηθήσεται. [f. 13] ἀρρωστίαν ἕξει ἀπὸ γεννήσεως αὐτῆς ἐτῶν ε΄, ιδ΄, κε΄, μδ΄ · ταῦτα διελθοῦσα ζήσει ἔτη πδ΄ · ὅταν δὲ ἀρρωστήσῃ, ἂς λειτουργῇ τὴν ἁγίαν Μαρίαν καὶ οὐ κινδυνεύσει.

Αὔγουστος ἔχει ζώδιον Παρθένον.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τῆς Παρθένου · ἡ ἀγαθή του ἡμέρα εἶναι δευτέρα. πρόσεχε τὴν δ΄ τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον · εἰς δὲ κρίσιν δεξιὰ στάσου · δακτυλίδι ἀργυροῦν ἂς φορῇ. γίνεται ἀνὴρ γοργός, καθάριος, εὔτυχος, ταχὺς εἰς τὸ πωλῆσαι καὶ ἀγοράσαι, ἐρωτικός, ἐπίορκος · ὅρκον ζητήσει αὐτὸν γυνὴ καὶ ταχὺ ἀπογνώσει τον. ἐτῶν ιβ΄ κίνδυνον διαβάσῃ · κτήματα πολλὰ πωλήσει καὶ ὕστερον μετὰ ἁρπαγῆς κτήσεται βίον. εἰς πενθερικὰ οὐ μὴ εὐχαριστηθῇ. τὸν βίον αὐτοῦ ἀνόμους δώσει καὶ λυπηθῆνε. ὅθεν οὐδὲν νοεῖς, ἐπέλθῃ σοι πλοῦτος καὶ δοξασθήσῃ. ἐτῶν ιη΄ ἀρρωστήσει, ἀλλὰ σωθήσεται. μετοικήσει τοὺς γονεῖς αὐτοῦ ἐκ τῆς πόλεως. δάνειον ποιήσει καὶ ὅσα δανείσει, χάσῃ αὐτά. ἔσται ἀνεσταλμένος, δυνατός, φιλόφιλος, ἀγαπηθήσεται ὑπὸ πάντων. πολλὴν χώραν περιπατήσει [f. 13v] καὶ κακοπαθήσει. πονέσει σπλάγχνα καὶ ὀφθαλμοὺς καὶ κοιλίαν. <ἔστιν> λευκόχροος, ἀναφάλαντος, φρόνιμος, μακρόθυμος. θόρυβον οὐ μὴ ἀγαπήσῃ. ἐὰν πανδρευθῇ, καλῶς ἕξει. ἂς φυλάσσεται ἀπὸ ἑρπετῶν · ἀπὸ σκύλου δαγκωθήσεται. ἔσται καλοσύντυχος, καλοσύμβουλος. ὑπὸ μεγάλων ἀνθρώπων τιμηθήσεται. αὐλὴν περιπατήσει βασιλικήν. γράμματα μάθῃ. γυνὴν οὐ κερδίσει, χηρεύσει ἢ χωρισθήσεται · τὴν πρώτην αὐτοῦ θάψει καὶ μετὰ ἄλλην συνοικήσει. ἐν δικαστηρίῳ οὐ μὴ νικηθῇ. πόδας πονέσει, νεφρὰ ἀλγήσει · ἐτῶν ε΄, η΄, ιδ΄, κδ΄, νγ΄, <ἀρρωστίαν ἕξει> · ταῦτα διελθὼν ζήσει ἔτη πε΄ · ὅταν δὲ ἀρρωστήσῃ, ἂς λειτουργῇ τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον.

2 ποιήσαι cod. 3 καί = ὅτι. δραχθήσεται cod. 5 εὐχαρισθήσεται cod. 7 διελθών cod. 12 ἀργιρώ cod. 13 ταχύς ex εὐτυχής corruptum suspicor. 15 ἀπογνώσει τον scripsi : ἀπογνώσονται cod. 16 πωλήσει] num ἀπολέσει legendum ? κτήσε cod. 18 νοεῖς] δεἰς cod. ἐπέλθῃ σοι] ἐπέλθισι cod. δοξασθίσονται cod. 21 ἀνασταλμένος cod. : nonne συνεσταλμένος ut supra, p. 102, 6 ? sed cf. pp. 112, 26 et 116, 27. 23 σπλάχνα cod. ἔστιν inserui. ἀναφάλανδρος cod. : cf. pp. 102, 5, 108, 11. 25 φυλάσετε cod. 27 αὐλή cod. 28 γυνή cod. : cf. supra, p. 106, 16. 31 ἀρρωστίαν ἕξει addidi.

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τῆς Παρθένου εὐνοστοσύντυχη, εὔμορφη, ἐρωτική, εὔτυχη, θεοσεβήτρια· καὶ ἕξει ὑπορόδιον τὸ πρόσωπον· ἀγαπητικὴ καὶ ὑπὸ πάντων ἀγαπωμένη. παιδία εὔφημα ποιήσει καὶ χαροποιηθήσεται καὶ ὑπὸ τέκνοις δοξάσει [f. 14] *τὸν Θεόν· εἰς τοὺς ἰδίους ὀξέα καὶ εἰς τοὺς ξένους προσφιλής. τί ἐστι τὸ μυστήριον τοῦτο; ὁ Θεὸς πληρώσει τὴν ἐπιθυμίαν σου ἐν ἀγαθοῖς καὶ δοξάσεις τὸν Θεὸν ἐπὶ ὀλίγας ἡμέρας. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου· καὶ ἀπὸ κοιλίας ἀρρωστήσει μῆνα καὶ ἀπὸ δαιμονικὸν ἐμφύσημα. τὸν πατρικὸν οἶκον ἀναθρέψει. ἡ νόσος αὐτῆς ἀπὸ κεφαλῆς καὶ ἀπὸ στομάχου. γυνὴ κακὴ ἀπὸ ζήλου πολεμήσει αὐτήν. ἁρμοὺς πονέσει. ἐτῶν κ' εὐτυχήσει· ἄνδρα χρήσιμον λάβῃ ἀπὸ χηρείας. ἔσται γλωσσωδεστάτη, λιγνή. εἰς ἄνδρα λυπηθήσεται, εἰς τέκνα εὐτυχήσει. σταυρίον καὶ κεφαλὴν πονέσει, μαστοὺς καὶ ὀδόντας καὶ ὀφθαλμούς. ἔσται ἀμετάδοτη· εἰς παῖδας λυπηθήσεται· θλιβερή. ἐτῶν ς', θ', ις', λβ', μδ' <ἀρρωστίαν ἕξει> · ταῦτα διελθοῦσα ζήσει ἔτη π'. ὅταν δὲ ἀρρωστήσῃ, καρκίνον λειώσας ἄλειφε τὸν πόνον αὐτῆς καὶ ἰᾶται· ἂς λειτουργῇ τὸν τίμιον Σταυρὸν καὶ τὴν ἁγίαν Βαρβάραν καὶ οὐ κινδυνεύσει.*

Σεπτέμβριος <ἔχει> ζώδιον Ζυγόν.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Ζυγοῦ· [f. 14v] *ἡ ἀγαθή του ἡμέρα εἶναι τετράδη. ἂς προσέχῃ τὴν γ' τῆς Σελήνης εἰς γυναικὸς πρόσωπον. εἰς δὲ κρίσιν ζερβὰ στάσου· πρόσεχε ἀπὸ ἄνθρωπον στρογγυλοπρόσωπον. γίνεται ἄνθρωπος ἐπιδέξιος, ἐλεημονητικός, ἀνεσταλμένος, φρόνιμος· ἐν δικαστηρίῳ οὐ μὴ νικηθήσεται· ἀγαπητικός. νεῦρα πονέσει· πόδαν λάβῃ. ὅρκον ζητήσει αὐτὸν γυνή. ἐλαίαν ἕξει ἐπὶ τοῖς κρυφοῖς μέλεσιν <καὶ> ἐπὶ μασχαλῶν. ὑπὸ μεγάλων ἀνθρώπων τιμηθήσεται καὶ ὑπὸ πολλῶν εὐχαριστηθήσεται. πρόσεχε ἀπὸ θηρίων ἀνημέρων εἰσὲ λβ' χρόνους, ἵνα μὴ λάβῃς θλῖψιν. γυναῖκα πρώτην χάσῃ καὶ*

1 *γυναικός*] + *ζώδιον παρθένος* cod. 2 *ἐμνοστοσύντυχη* cod.: cf. pp. 103, 15, 110, 20. 4 *τὸ πρόσωπον* transp. post *εὔμορφη* v. 3, cod. 6 *ὑπό*]nonne *ἐπί* legendum ? cf. p. 103, 2. 8 *πλιρώσε* cod. 11 *ἀναθρέψει*] malim *ἀνατρέψει*. 17 *ἀρρωστίαν ἕξει* inserui. 18 *διελθών* cod. *λυώσις* cod. 21 *ἔχει* inserui. *ζιγός* cod. 26 *ἀνασταλμένος* cod.: cf. p. 111, 21. 27 *λάβῃ*: cf. p. 110, 4. 28 *τῆς κρυφῆς* cod. *καί* inserui. 30 *εὐχαρισθήσεται* cod.

μετὰ ἄλλην συνοικήσει. παιδία εὔφημα ποιήσει καὶ χαροποιηθήσεται. ἐν τόπῳ οὗ ἐγεννήθη οὐ τελευτήσει. καὶ ἀπὸ ταραχῆς καὶ κυνηγίου πρόσεχε, μὴ λάβῃς θλῖψιν. ἐπὶ ὀλίγας ἡμέρας περιπατήσεις μόνος ἐν ἀποδήμῳ τόπῳ καὶ ἀκούσας λαλίας μίαν καὶ δύο φοραῖς καὶ μὴ ἀποκριθῇς· εἰ δὲ τρὶς ἀκούσεις, ἀποκρίθητι καὶ ἕξεις ἡμέρας ἀγαθάς. ἔστι μελίχροος. ἁρμοὺς πονέσει. εἰς χώραν ἀπέλθῃ ξένην, ἀλλ' εἰς τὰ ἴδια [f. 15] *στραφήσεται. εἰς μεγάλα καὶ ἱκανὰ ἐμπιστευθήσεται πράγματα. ἀπὸ τετραπόδων κύλλωμα λάβῃ. ἀπὸ σιδήρου φόβον ἕξει. ἐὰν δὲν ἐπιστρέψῃ πρὸς τὸν Θεὸν διὰ μετανοίας καὶ ἐξομολογήσεως ἀληθινῆς, ἔχει νὰ λάβῃ μέγα κακόν. ἐτῶν ε', ιγ', κ', λς', μα', <ἀρρωστίαν ἕξει> · ταῦτα διελθὼν ζήσει ἔτη πδ'. ὅταν ἀρρωστήσῃ, κόρης παρθένου ζώνην θέσῃ εἰς τὸν πόνον αὐτοῦ. καὶ ἂς λειτουργῇ τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον ἢ τὸν τίμιον Σταυρὸν καὶ οὐ κινδυνεύσει.*

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Ζυγοῦ ἔσται γυνὴ συνεσταλμένη, διωρθωμένη τῷ σώματι, τρανὴ τῷ φρονήματι· μεσότριχη, εὐθαλὴ τὸ πρόσωπον, τρανὴ τῇ ἡλικίᾳ, ἔχουσα πάντοτε μέριμναν τοῦ βίου. διὰ πατρικὴν μοιρασίαν θλιβῆναι θέλει σφόδρα. ὑπὸ τέκνοις θλῖψιν ἔχει. καταπλακῇνε ἀδίκως πολλὰ καὶ εἰς πολλοὺς ἄνδρας. εἰς πενθερικὰ οὐκ εὐχαριστηθήσεται. ἔσται φιλόκαλη, ἀγαπητική, εἰς ξένους καὶ εἰς τοὺς ἰδίους πικρή. γυνὴ κακὴ ἀπὸ ζηλίαν πολεμήσει αὐτήν. γαστέρα καὶ μαστὸν πο-[f. 15v]*-νέσει. παῖδας ἀποβάλεται καὶ ἕτερος ἀποθάνῃ. εἰς χώραν ἀπέλθῃ ξένην, ἀλλ' εἰς τὰ ἴδια στραφήσεται. πόνον λάβῃ κρυπτὸν εἰς ὅλα της τὰ μέλη. ἐτῶν δ', ιγ', κα', κς', κζ', μς', <ἀρρωστίαν ἕξει> · ταῦτα διελθοῦσα ζήσει ἔτη οη'. ὅταν δὲ ἀρρωστήσῃ, βοτάνι αὐτῆς τὸ λεγόμενον παρθένιον, ἵνα τρώγῃ ἀπονηστικὴ καὶ τὸν ζουμὸν ἂς λούεται. καὶ ἂς λειτουργῇ τὴν ὑπεραγίαν Θεοτόκον καὶ τὴν ἁγίαν Ἑλένην καὶ οὐ κινδυνεύσει.*

5 *εἰ*] *ἤ* cod. 8 *ἐμπιστευθῆσε* cod. *τετραπόδον* cod. 11 *ἀρρωστίαν ἕξει* addidi. 13 *πόνον* scripsi (cf. p. 112, 19) : *τόπον* cod. 16 *γυναικός*] + *ζώδιον ζυγός* cod. 20 *μερασίαν* cod. : cf. p. 109, 10 *ὑπό*] num *ἐπί* legendum ? cf. p. 103, 2. 22 *εὐχαρισθήσετε* cod. 25 *ἀποβάλεται* cf. p. 110, 30. *ἕτερον* cod. 27 *ἀρρωστίαν ἕξει* inserui. 28 *διελθών* cod. 29 *παρθένου* cod. 30 *λούετε* cod.

Ὀκτώβριος ἔχει ζώδιον Σκορπίον.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Σκορπίου· ἡ ἀγαθή του ἡμέρα εἶναι τρίτη. πρόσεχε τὴν ς′ τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον· εἰς δὲ κρίσιν δεξιὰ στάσου. γίνεται ἀνὴρ μεσοήλικος· ἐτῶν γ′ ἀσθενήσει καὶ ἐτῶν ιη′ κίνδυνον διαβάσῃ ἀπὸ κακὸν ὀφθαλμόν. ἔσται εὐλογημένος ὁ οἶκος αὐτοῦ. καὶ εὔτυχός <ἐστιν> πρὸς ἀπάντησιν. ἀλλὰ πρόσεχε ἀπὸ τόπου ἢ ἐξ ἀμπέλου οὗ ἐργάζῃ ὅτι θησαυρός ἐστι· καὶ ἐν τῇ ζωῇ σου λαμβάνεις αὐτὸν εἰς τὰς χεῖράς σου· καὶ φανήσεται ἐν ἡμέρᾳ παρασκευῇ καὶ δοξάσεις [f. 16] *τὸν Θεόν. ἔστι ὀκνηρός, παραζηλευτής, εἰς τὸν πόρον εὔτυχος· εἰς τὰ κτήνη ζημίαν πάθῃ. φυλασσέσθω ἀπὸ τοῦ τρέχειν. εἰς τοὺς φίλους ἁπλός· πολλῶν πραγμάτων κύριος ἀκουσθήσεται. ὁ θάνατος αὐτοῦ ἀπὸ πλευροῦ. ὀδόντας ἀπὸ ῥεύσεως χάσῃ. χηρεύσει ἢ χωρισθήσεται, ἀλλὰ μετὰ ἄλλην συνοικήσει. νεφρὰ πονέσει. ἔστι δὲ μελίξανθος. ἐὰν δανείσῃς μετὰ καλοῦ, ἐκέρδισας αὐτό. ὅρκον ποιήσει μετὰ γυναικὸς καὶ ἐκ τῶν ἰδίων ζηλευθήσεται. ἀπὸ ὄφεως δαχθήσεται καὶ ἀπὸ θερμοῦ φόβον ἕξει. παιδίον μέγα χάσῃ καὶ λυπηθήσεται. ἐτῶν η′, ιε′, κγ′, κη′, λε′, μθ′, <ἀρρωστίαν ἕξει>· ταῦτα διελθὼν ζήσει ἔτη πη′. ὅταν δὲ ἀρρωστήσῃ, ἂς λειτουργῇ τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον ἢ τὸν ἅγιον Δημήτριον καὶ οὐ κινδυνεύσει.*

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Σκορπίου ἡμέρᾳ καλῇ ἐγεννήθη καὶ πάντοτε δεδοξασμένη εἶναι, τρανὴ τῷ φρονήματι, ἔχουσα σημεῖον ἐν τοῖς κρυπτοῖς μέλεσιν καὶ εἰς τὸ πρόσωπον· [f. 16v] *ἐπιδέξια, πολυμεριμνοῦσα ἐν βίῳ καὶ ἐν τέκνοις. ἔστιν ὁ ἀνὴρ αὐτῆς χολομανὴς καὶ ἡ γυνὴ θεοσεβήτρια· πονέσει σπλάγχνα καὶ ὀφθαλμούς. ἐλαίαν ἕξει ἐπὶ τοῖς δεξιοῖς μέλεσιν· αὐστηρή, ἰδιόπεισμος. ἁρμοὺς πονέσει καὶ ἀπὸ τὸν δαίμονα φρικιασμὸν ἐπιδέξεται· ἂς φορῇ φυλακτήριον λόγους Θεοῦ. οἶκον ἐξουσιάσει πατρικὸν καὶ χαροποιηθήσεται. κεφαλὴν πονέσει καὶ ὑπὸ σκύλου δαγκωθήσεται. γυνὴ κακὴ διὰ φθόνον πολεμήσει αὐτὴν καὶ καταπλακήσεται ἀδίκως πολλά. παιδίον ἀποβάλεται καὶ ἕτερον ἀποθάνῃ. εἰς τὸν ὕπνον της γελᾷ πολλάκις καὶ ἔστι βάρος εἰς αὐτήν. ἐὰν θέλῃ νὰ ἐκλείπῃ ἀπ' αὐτῆς, νὰ θυσιάσῃ θυσίαν εἰς τὸν τίμιον Σταυρὸν καὶ οὐ κινδυνεύσει. ἐτῶν γ′, ε′, ιζ′, κς′, λθ′, μα′, <ἀρρωστίαν ἕξει>· ταῦτα διελθοῦσα ζήσει ἔτη οη′· ὅταν ἀρρωστήσῃ, ἂς λειτουργῇ τὴν ἁγίαν Κυριακὴν ἢ τὸν ἅγιον Εὐστάθιον τὸν Πλακίδα καὶ ἐλευθεροῦται.*

1 *ὀκτώμβριος* cod. *σκορπίος* cod. 3 *τρίτη*] *γ′* cod. 4 *μισοήλικος* cod. 5 *κακῶν ὀφθαλμῶν* cod. 6 *ἐστιν* inserui. 15 *δανείσῃς μετὰ καλοῦ* scripsi, coll. codd. Athen. 21, ff. 3v et 8 et 26, f. 9 : *λαλῖς με το καλόν* cod. *ἐκέρδισας*] num *ἐχάρισας* legendum ? cf. p. 106, 20 *αὐτόν* cod. 17 *διχθήσετε* cod. 18-19 *ἀρρωστίαν ἕξει* addidi. 22 *γυναικός*] + *ζώδιον σκορπίος* cod. 25 *ἔχων* cod. 26 *πολυμεροῦσα* cod. 27 malim *χορομανής.* 28 *δεξιοῖς:* cf. supra, v. 25. 29 *δαίμονα φρικιασμόν* scripsi, coll. opusculo cod. Neap. *Catal.*, IV, p. 166, 17 : *νόμων ἀφορκισμόν* cod.

Νοέμβριος ἔχει ζώδιον Τοξότην.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Τοξότου· ἡ ἀγαθή του ἡμέρα εἶναι πέμπτη. ἂς [f. 17] *προσέχῃ τὴν γ′ τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον. εἰς δὲ κρίσιν δεξιὰ στάσου. ἂς προσέχῃ ἀπὸ κακὸν ἄνθρωπον ξανθόν. γίνεται ἀνὴρ μεστός, τὸ πρόσωπον ὑπορόδινος. τοὺς γονεῖς οὐ μὴ δουλεύσῃ. ἔστι σερπετός, κακοανάστροφος, ἁπλός, καλός. σημεῖον ἕξει ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ μηροῦ. ἔσται πολύτεκνος· τὰ τέκνα αὐτοῦ ὀφθαλμόκαυστα. ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν τῇ αὐλῇ αὐτοῦ θησαυρός ἐστι κεκρυμμένος· καὶ ἐπάνω αὐτοῦ λίθος. εἰς πόδας λάβῃ ἀπὸ ξύλον καὶ ζῆλον. ἔστιν εὔτυχος· εἰς δὲ τὰ κτήνη πάθῃ ζημίαν· εἰς πᾶσαν τέχνην εὐμαθής. εἰς δικάσιμον μὴ ἐμβαίνῃ καὶ ζημιοῦται. κύριος ἀκουσθήσεται πολλῶν πραγμάτων· ὑπὸ μεγάλων ἀνθρώπων τιμηθήσεται. διγαμήσει· ξενιτεύσει, ἀλλ' εἰς τὰ ἴδια στραφήσεται. παιδίον μέγα χάσῃ. ἀπὸ δένδρον φόβον ἕξει· ὑπὸ πολλῶν γυναικῶν ἀγαπώμενος. ἐτῶν ε′, ιε′, κβ′, λε′, μς′, <ἀρρωστίαν ἕξει>· ταῦτα διελθὼν ζήσει ἔτη πγ′. ὅταν δὲ ἀρρωστήσῃ, παλαιοῦ τοξαρίου ἀπόξυσμα ἂς λούεται. εἰς δὲ ἀνάγκην ἂς ἐπικαλῆται τοὺς ἀσωμάτους Μιχαὴλ καὶ Γαβριήλ, Οὐρουὴλ καὶ Ῥαφαὴλ καὶ ἐλευθεροῦται.*

2 *χαποιηθήσεται* cod. 4 *ἀποβάλεται* : cf. supra, pp. 110, 30, 113, 25. 6 *νὰ ἐκλείπῃ*] *τοῦ ἐκλύπιν* cod. 8 *ἀρρωστίαν ἕξει* inserui. *διελθών* cod. 11 *τοξότης* cod. 16 *ὑποῤῥόδινον* cod. *κακοανάτροφος* cod. 17 *μέλεσι* cod. 20 *λάβῃ* : cf. p. 110, 4. 22 *ἐμβαίνῃ*] *ἐμπένιν* cod. *καί* = *ὅτι*. 26 *ἀρρωστίαν ἕξει* inserui. 28 *ἀπόξυσμα* scripsi : *ἀπὸ ἔτζιμα*, ut videtur, cod. *λούετε* cod.

[f. 17ᵛ] *Περὶ γυναικός.*

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Τοξότου ἔσται γυνὴ εὐάρεστος, γοργή, τῇ ἡλικίᾳ μικρή, καματερή, μεγαλόφθαλμη, ξανθότριχη, ἐπιδέξια, φρόνιμη · ἐπαύξει τοῦ βίου · ἀκατάδεκτη · εἰς τοὺς ἰδίους πικρὴ καὶ εἰς ξένους πρόσφιλη. ἐν τόπῳ οὗ ἐγεννήθη οὐ τελευτήσει · ὁ θάνατος αὐτῆς ἀπὸ καρδίας. χηρεύσει ἢ χωρισθήσεται καὶ ἐκ τῆς εὐλογίας κίνδυνον διαβάσῃ · τὸ γάλα της λειφθήσεται. ζημίαν τοῦ ἀνδρὸς αὐτῆς προσφέρει. εἰς γονικὴν μοιρασίαν τοὺς ἀδελφοὺς αὐτῆς οὐκ ἐλεήσει. ἁρμοὺς πονέσει · γοργόλογη · εἰς παιδία λυπηθήσεται · πολυζώητη. ἀγαπήσει ἄνδρα καὶ οὐ λάβῃ αὐτόν · πολλὰ παρὰ πολλῶν ζηλευθήσεται. ἐλαίαν ἕξει ἐπὶ τοῦ ὤμου αὐτῆς καὶ τοῦ προσώπου. ἐτῶν γʹ, ϛʹ, ιζʹ, κθʹ, λθʹ, <ἀρρωστίαν ἕξει> · ταῦτα διελθοῦσα ζήσει ἔτη πʹ. ὅταν ἀρρωστήσῃ, βοτάνι αὐτῆς παλαιοῦ τοξαρίου ἀπόπλυμα. καὶ ἂς λειτουργῇ τὴν ἁγίαν Παρασκευὴν καὶ οὐ κινδυνεύσει.

Δεκέμβριος <ἔχει> ζώδιον Αἰγόκερον.

[f. 18] *Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Αἰγοκέρου · ἡ ἀγαθή του ἡμέρα εἶναι σάββατον · ἂς προσέχῃ τὴν πρώτην τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον · εἰς δὲ κρίσιν δεξιὰ στάσου. γίνεται ἀνὴρ ἰσόγνωμος, ἰσοκάρδιος, εἰς πάντας γλυκύς, μελωδικός, τραγουδιστής · καὶ ὑπὸ πολλῶν ἀνθρώπων τιμηθήσεται. γράμματα <μάθῃ> καὶ εἰς φῶς ἥξει. ἐὰν διέλθῃ ἔτη ιηʹ, μακρόβιος γενήσεται · ἂς προσέχῃ ἀπὸ τῆς γεννήσεως αὐτοῦ μέχρι ἐτῶν κγʹ. ἀπὸ πυρὸς φόβον ἕξει. ἐτῶν ιηʹ ταράξει τὸν οἶκον αὐτοῦ τὸν πατρικὸν διὰ γυναῖκα. τὴν νύκτα ἀγριοῦται. καὶ τὴν πρώτην γυναῖκα ἀποβάλεται καὶ μετὰ ἄλλην συνοικήσει. εἰς πραγματείαν εὔτυχος. · ἀνεσταλμένος, ἀνδρεῖος, αὐστηρός, ἔμπειρος, εὔπορος, θυμώδης. ξενιτεύσει, ἀλλ' εἰς τὰ ἴδια στραφήσεται · καλόφιλος, ἄθλιβος, φιλογύναιος. ἱερεὺς μέλλει γενέσθαι καὶ ἐκφεύξεται ψηφιζόμενος. ἐτῶν λʹ ἐκφεύξει τοὺς κινδύνους · γυναῖκας μνηστευθῆνε πολλάς. ἧπαρ πονέσει, πόδας ἀλγήσει ·*

1 *γυναικός*] + *ζώδιον τοξότης* cod. 3 *εὐάρεστος, γοργή* distinxi : *εὐάργοργη* cod. 4 *ἐπὶ αὔξι* cod. 8 *προσφέρει*] num *ὑποφέρει* ? *μερασίαν* cod. : cf. p. 113, 20. 13 *ἀρρωστίαν ἕξει* inserui. *διελθὼν* cod. 14 *ἀπόπλημα* cod. 16 *ἔχει* inserui. *αἰγώκερος* cod. 18 *σαββάτου* cod. 22 *μάθῃ* inserui. *ἥξει*] *ἕξει* cod. 26 *ἀποβάλεται* : cf. p. 110, 30. 27 *ἀνασταλμένος* cod. ; cf. pp. 111, 21, 112,26.

μεσόχροος. ἀπὸ σιδήρου φόβον ἕξει · κολακευτικός, [f. 18ᵛ] *πάντας ὠφελήσει. φυλασσέσθω ἀπὸ φαρμάκου · ἀπὸ σκύλου δαγκωθήσεται · σημεῖον ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ κρυπτοῦ · κόκκαλον μωδιάσει. ἐτῶν γʹ, εʹ, ηʹ, ιγʹ, καʹ, μβʹ, <ἀρρωστίαν ἕξει> · ταῦτα διελθὼν ζήσει ἔτη πγʹ. ὅταν ἀρρωστήσῃ, ἂς καύσῃ τὸν ἀστράγαλον τῆς αἶγας καὶ τὸ κέρας καὶ ἂς ἀλείφεται καὶ λειτουργῇ τὸν ἅγιον Ζαχαρίαν. ὅταν δὲ εἰς ἀνάγκην ἔλθῃ, ἂς ἐπικαλῆται τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα καὶ τὸν ἅγιον Δημήτριον καὶ οὐ κινδυνεύσει.*

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Αἰγοκέρου ἔσται γυνὴ καλοήλικη, ἄσπρη τὸ πρόσωπον, πάντοτε θλιβερὴ εἰς τὴν καρδίαν · κτήματα πολλὰ ἀπολέσει καὶ ὕστερον ποιήσει καλὸν βίον · ἐλεημονητικὴ εἰς τοὺς ξένους καὶ πτωχούς · καὶ ἐλεημοσύνη τοῦ Θεοῦ εἰς τὸ χέρι της καὶ ἐν τῷ οἴκῳ αὐτῆς. ὑπὸ τέκνοις μεγάλως δοξάσει τὸν Θεόν. γράμματα μάθῃ καὶ ὑπὸ πολλῶν ἀνθρώπων τιμηθήσεται. ἂς προσέχῃ ἀπὸ ἀστραπὴν καὶ βροντήν, ἵνα μὴ λάβῃ θλῖψιν. εἰς τεκνοποίησιν, αὐτὴν ἀποκλαύσονται, ἀλλὰ ὅταν τίκτῃ, ἂς [f. 19] *θυσιάσῃ τὴν ὑπεραγίαν Θεοτόκον. εἰς τὰ κτήνη εὔτυχη · ξανθότριχη. χηρεύσει · ἐτῶν κʹ κίνδυνον διαβάσῃ · οἶκον μετὰ ἀνδρὸς κτήσει. ἔσται πρόσφιλη εἰς τοὺς ἰδίους, ἀγαπηθήσεται ὑπὸ πάντων · ἄνδρα λάβῃ καὶ πάλιν χάσῃ αὐτόν · ἕνα της παιδὶ κυλλωθήσεται. μασθὸν πονέσει, καρδίαν, στόμαχον, κεφαλὴν καὶ γόνατα. σημεῖον ἔχει ἐπὶ τοῦ τραχήλου καὶ μέσον τῶν δύο μασθῶν. ἐκ πρώτης ἡλικίας ἀγαπήσει ἄνδρα καὶ οὐ λάβῃ αὐτόν · ὕστερον ἄνδρα γλωσσώδη λάβῃ. ἀπὸ σκύλου δαγκωθήσεται. ἐτῶν εʹ, ζʹ, ιγʹ, κθʹ, ληʹ, μβʹ, <ἀρρωστίαν ἕξει> · ταῦτα διελθοῦσα ζήσει ἔτη οθʹ. ὅταν ἀρρωστήσῃ, ἂς ἐπικαλῆται τὴν ἁγίαν Ἐλισάβεθ τὴν μητέρα τοῦ Προδρόμου. ἂς λειτουργῇ καὶ τὴν ἁγίαν Παρασκευήν, ὅταν εἰς ἀνάγκην ἐμπέσῃ.*

4 forma *μουδιάσει* magis usitata. *ἀρρωστίαν ἕξει* addidi. 5 *ὀστράγκαλον* cod. 10 *γυναικός*] + *ζώδιον αἰγόκερος* cod. 13 *ἀπολέσει* scripsi (cf. *ὕστερον*) : *ποιήσει* cod. 15 *ὑπό*: cf. supra, p. 103, 2. 16 *δοξάσοι* cod. 18 *ὑποκλαύσοντε* cod. 19 *θυσιάσῃ τὴν Θεοτόκον* : cf. p. 109, 8. 23 *κιλιωθήσετε* cod. : cf. supra, p. 107, 21. 25 *δίον* cod. 26 *ἀπὸ — δαγκωθήσεται* transp. post *αὐτόν*, v. 26, cod. 27 *ἀρρωστίαν ἕξει* inserui. *διελθών* cod.

Ἰανουάριος ἔχει ζώδιον Ὑδροχόον.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τοῦ Ὑδροχόου · ἡ ἀγαθή του ἡμέρα εἶναι σάββατον. ἂς προσέχῃ τὴν ς′ τῆς Σελήνης εἰς ἀνδρὸς πρόσωπον · εἰς δὲ κρίσιν δεξιὰ στάσου. γίνεται ἄνθρωπος ἔντιμος, χρήσιμος, ἐντροπιακὸς ἐν παντί, δριμύς, θεοσεβής, φρόνιμος. ὑπὸ [f. 19ᵛ] *μεγάλων ἀνθρώπων τιμηθήσεται. ἀπὸ ποταμῶν ἂς προσέχῃ. ἔσται ἀνὴρ γυναικομανής · εἰς τὸν οἶκον αὐτοῦ ὀξὺς πρὸς ὥρας. κτήματα πολλὰ ποιήσει καὶ διὰ κακὸν ἄνθρωπον ἀφήσει αὐτά. παρθένον γυναῖκα λάβῃ. <ἔσται> μεσοήλικος, λευκόχροος. εἰς τὴν ξηρὰν γῆν ἐὰν ἀπέλθῃ, οὐ μὴ στραφῇ κενός. βαρύθυμος <ἔσται>. σῦκα μὴ τρώγῃ μηδὲ ἐλάφου κρέας. ὄμματα καὶ ἁρμοὺς πονέσει, κεφαλὴν καὶ σπλάγχνα. ἴδιον <τέκνον> θάψει. τὸν βίον ἀνόμους δώσει · ὀρφανίαν δουλεύσει · γράμματα μάθῃ. νεφρὰ πονέσει, πόδας λάβῃ, κόκκαλον μωδιάσει. γυναῖκα πρώτην χάσῃ ἢ χωρισθήσεται καὶ μετὰ ἄλλην συνοικήσει. ἐν δικαστηρίῳ οὐ μὴ νικηθῇ. λογάριν χάσῃ, ἐὰν τὸ δώσῃ. ἔσται μεσοήλικος, σιτόχροος. ἐκ τοῦ στόματος αὐτοῦ βλασφημίαν μὴ ἐξέρχεσθαι. εἰς πολλὰς περιπέσῃ γυναῖκας. εἰς αὐλὴν περιπατήσει βασιλικήν. ἐλαίας ἕξει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ κρυπτοῦ. ἐτῶν γ′, η′, ιε′, κγ′, λς′, μζ′ <ἀρρωστίαν ἕξει> · ταῦτα διελθὼν ζήσει ἔτη π′. ὅταν ἀρρωστήσῃ, βοτάνι αὐτοῦ εἰσι τὰ θερμά. ἐπικαλοῦ τὸν ἅγιον Νικόλαον καὶ τὸν ἅγιον Κωνσταντῖνον.*

[F. 20] *Περὶ γυναικός.*

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Ὑδροχόου ἐστὶν εὐθαλὴς τὸ πρόσωπον, ἐντροπιακή, ὡραία τὴν ὄψιν, καλοήλικη, ὑπὸ πάντων ἀγαπωμένη διότι ἀπὸ Θεοῦ ἔχει χάριν · καὶ ἔσται πολύτεκνη καὶ πολυζώητη · καὶ πολλὰ χαροποιηθήσεται ἐν τέκνοις καὶ ἐν βίῳ, ἀλλὰ λυπηθήσεται ἐν πονηραῖς γυναιξὶν διὰ τὴν ζηλίαν αὐτῶν. παγούρους μὴ ἐσθίειν μηδὲ ἐλάφου κρέας. καὶ μετὰ ὀλίγας ἡμέρας θεωρεῖς ἐνύπνιον καὶ θέλεις φοβηθῇ · ἀλλὰ μὴ φοβοῦ ὅτι εἰς ἀγαθὸν προβαίνει · καὶ μηδαμοῦ ἐξηγήσῃς αὐτὸ ἕως ἐκτελέσῃς

1 *ὑδροχόος* cod. 3 *σαββάτω* cod. 5 *δρομεύς* cod. 9 *ἔσται* inserui. *μισοηλικος* cod. 11 *ἔσται* addidi. 12 *τέκνον* inserui. 13 *ἀνόμους*: cf. supra, p. 111, 17. 14 *μοδιάσει* cod.: cf. supra, p. 117, 4. 16 *ἐάν* scripsi : *διὰ νά* cod. 17 *μισοήλικος* cod. 20 *ἀρρωστίαν ἕξει* inserui. 23 *γυναικός*] + *ζώδιον ὑδροχόος* cod. 28 *πονηροῖς* cod.

μετανοίας κ′ κατὰ ἀνατολάς. ἀπὸ κακοῦ ὀφθαλμοῦ τὸ γάλα της λειφθήσεται. πρόσεχε ἐν ἡμέρᾳ κυριακῇ, μηδὲν ἐργάζου καὶ οὐ μὴ λυπηθῇς ἐν τῇ ζωῇ αὐτῆς. ὁ θάνατος αὐτῆς σεμνός. ἂς προσέχῃ ἀπὸ πυρός. ἔχει θλιβερὴν καρδίαν. ἄνδρα πρῶτον θάψει ἢ χωρισθήσεται καὶ μετὰ ἄλλον συνοικήσει. εἰς ἕνα παιδὶ λυπηθήσεται. μαστὸν πονέσει καὶ γόνατα. ἔστιν ἀκατάδεκτη. φυλασσέσθω αὐτὴν ἀπὸ ἀνέμου ζάλης. παιδίον ἀποβάλεται. κεφαλὴν πονέσει. <εἰς χώραν ἀπέλθῃ ξένην, ἀλλ’> εἰς τὰ ἴδια στραφήσεται. ἐτῶν η′, ιβ′, ιζ′, κε′, λβ′, λη′, <ἀρρωστίαν ἕξει> · ταῦτα διελθοῦσα ζήσει ἔτη οε′. ὅταν ἀρρωστήσῃ, ἂς ἐπικαλῆται [f. 20ᵛ] *τὸν ἅγιον Βασίλειον καὶ τὴν ὑπεραγίαν Θεοτόκον καὶ οὐ κινδυνεύσει.*

Φεβρουάριος ἔχει ζώδιον Ἰχθύας.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζωδίου τῶν Ἰχθύων · ἡ ἀγαθή του ἡμέρα εἶναι πέμπτη. ἂς προσέχῃ τὴν γ′ τῆς Σελήνης ἀπὸ γυναικὸς πρόσωπον · εἰς δὲ κρίσιν δεξιὰ στάσου. ἀποτάξει ἀγροὺς καὶ θησαυροὺς πλῆθος ἀπὸ νέας ἡλικίας μέχρι γήρους. γίνεται ἔντιμος, ἰδιόπεισμος, ὀλιγόψυχος, γοργός, ψιθυριστής, ἀποδημητικός, ἀνδρεῖος, αὐστηρός, μικροφούμιστος, κολακευτικός, <εἰς> πάντα τὴν ἀλήθειαν ἀγαπᾷ. εἰς τὴν ξηρὰν γῆν ἐὰν ἀπέλθῃ, οὐ στραφῇ κενός. ἀλλοτρίους θησαυροὺς κληρονομήσει καὶ πολλὰ χαροποιηθήσεται καὶ δοξάσει τὸν Θεόν. ἂς προσέχῃ ἀπὸ δώματα ἢ ἐκ πέτρας ἵνα μὴ λάβουν οἱ γονεῖς αὐτοῦ θλῖψιν. πρὸς φίλους ἀγαπώμενος καὶ εἰς τοὺς ἰδίους πικρός. ἧπαρ πονέσει, σταυρίον καὶ κεφαλήν. γυναῖκα πρώτην θάψει ἢ χωρισθήσεται καὶ μετὰ ἄλλην συνοικήσει. ξενιτεύσει, ἀλλ’ εἰς τὰ ἴδια στραφήσεται · καὶ ὅταν γεράσῃ, τελευτᾷ. ἀπὸ ξύλου καὶ δένδρου φόβον ἕξει · ἀπὸ τετραπόδων κύλλωμα λάβῃ. πλευρὸν μωδιάσει. ἐὰν στρατευθῇ, αὐλὴν βασιλικὴν [f. 21] *περιπατήσει. γράμματα μάθῃ. σημεῖον ἔχει ἐπὶ τοῦ τραχήλου καὶ τοῦ κρυπτοῦ. τὰ κτήνη αὐτοῦ γενήσονται ὀφθαλμόκαυστα. μυστήριον ἀνθρώπου μὴ θαρ-*

2 *ληφθήσεται* cod. 3 *λυπηθῇ* cod. 7 *ἀποβάλετε* cod.: cf. supra, p. 110, 30. 8 *εἰς χώραν ἀπέλθῃ ξένην, ἀλλ’* inserui. 9 *ἀρρωστίαν ἕξει* inserui. *διελθών* cod. 12 *Φευρουάριος* cod. *ἰχθίες* cod. 15 *ὑποτάξει* cod.: cf. supra, p. 106, 20. 16 *θησαυροὺς πλῆθος*: serm. vulg. structura. 18 malim *ἐπιθυμητικός*: cf. p. 102, 7. *φουμίζω* = *φημίζω*. 19 *εἰς* inserui. 27 *κήλωμα* cod. *μοδιάσει* cod.: cf. supra, p. 118, 14. 28 post *στρατευθῇ* num exciderunt verba *ἕξει καλῶς?* cf. supra, p. 110, 8. 30 *θαρῆν* cod.

ρῇ καὶ ἐκβαλοῦσι τὸ ἀγαθὸν εἰς πονηρόν. παρὰ κακῶν ἀνθρώπων ζηλευθήσεται. <ἔσται> ἐλεημονητικός. εἰς δικαστήριον οὐ μὴ νικηθῇ. ὅσους κεράσει, ἐχθροὶ αὐτοῦ γίνονται. ἐτῶν γ', ιβ', ιε', λε', μβ', <ἀρρωστίαν ἕξει> · ταῦτα διελθὼν ζήσει ἔτη πδ'. ὅταν ἀρρωστήσῃ, βοτάνι αὐτοῦ ἐστιν τὸ ψαρέλαιον. ἂς λειτουργῇ τὸν ἅγιον Γεώργιον καὶ τὴν ἁγίαν Ἀναστασίαν καὶ οὐ κινδυνεύσει.

Περὶ γυναικός.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζωδίου τοῦ Ἰχθύος ἐστὶν ὁμοφρόντιστη, μεσοήλικη, μεσορόδινη, ψιθυρίστρια, τρανὴ τῷ φρονήματι · ἐπαύξει τοῦ βίου · κατὰ πάντα πλούσια καὶ ὑπὸ πάντων ἀγαπωμένη · ἐπιθυμική. εἰς πενθερικὰ οὐ μὴ εὐχαριστηθῇ. παιδίον ἀποβάλεται. ἐλαίας ἕξει ἐπὶ τοῦ μηροῦ ἢ ἐπὶ τοῦ προσώπου καὶ τοῦ στήθους. ἂς φυλάγεται ἀπὸ ποταμῶν καὶ ἀπὸ ἀνέμου ζάλης. μυστήριον ἔξω τῆς ἰδίας ψυχῆς μὴ θαρρήσῃ. θλιβῆναι ἔχει ἐν πονηραῖς γυναιξίν · ἀπὸ πυρὸς καὶ θερμοῦ ἂς στοχάζεται. ἐπὶ ἡμέρας η' [f. 21^{v}] καὶ νύκτας θ' μὴ ἐπιλαθοῦ τοῖς λόγοις τούτοις. ἐν προσευχῇ μὴ ἀμέλει · μήποτε βλασφημήσῃς καὶ οὐ λυπηθῇς ἐν τῇ ζωῇ σου. τὸ ὄνειρόν της μηδαμῶς ἐξηγείτω. καὶ ἕτερον μυστήριον μενεῖ μετὰ αὐτῆς · ὅταν δὲ ἐν τῇ κοίτῃ μένῃ, γίνεται ὥσπερ ἄφρων · πρόσεχε μὴ ἐξείπῃς ἄλλοις ἀνθρώποις καὶ ἔλθῃ σοι θλῖψις μεγάλη. πρῶτον ἄνδρα θάψει ἢ χωρισθήσεται καὶ μετὰ ἄλλον συνοικήσει. εἰς κοιλίαν κίνδυνον διαβάσῃ. ἄνδρα ἀγαπήσει. πλευρὸν πονέσει. ὅρκον ποιήσει μετὰ γυναικός. ἀσθενήσει ἀπὸ μαστοῦ · καρδίαν πονέσει. ἀπὸ κακῆς ὥρας βλαβήσεται. ἡ καθημερινὴ τροφὴ οὐκ ἐκλείψει ἀπ' αὐτήν. ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου. ἀπὸ φθόνου χάσῃ βίον. ἐτῶν γ', ε', ιγ', κε', κζ' <ἀρρωστίαν ἕξει> · ταῦτα διελθοῦσα ζήσει ἔτη οθ'. ὅταν δὲ ἀρρωστήσῃ, ἂς λειτουργῇ τὴν ἁγίαν Παρασκευὴν καὶ

1 *καί* = *ὅτι*. 2 *ἔσται* addidi. 4 *ἀρρωστίαν ἕξει* inserui. 8 *γυναικὸς*] + *ζώδιον ἰχθύες* cod. 12 *ἐπιδιμική* cod. : num *ἐπιθυμητική* restituendum ? 13 *ἀποβάλεται* : cf. supra, p. 110, 30. 16 *πονηροῖς* cod. 17 *θ'*] *ν'* cod. *τοῖς—τούτοις* dativus insolitus : num *ἐπιλάλει τοὺς λόγους τούτους* legendum ? 18 *βλασμίσης* cod. 19 *σου*] *της* cod. num *ἑτέρων* legendum ? 20 *μενῖ* cod. *αὐτῆς*] *σοῦ* cod. *τῇ*] *τῷ* cod. *κοίτι* cod. 21 *ἄφρον* cod. 24 *μετὰ γυναικός* mirum. 26 *ἀπ'*] *ἐπ'* cod. 27 *χάσῃ* scripsi : *κτήσῃ* cod. 28 *ἀρρωστίαν ἕξει* inserui. *διελθὼν* cod.

τὴν ἁγίαν Ἀναστασίαν τὴν φαρμακολυτρίαν καὶ ἂς ἀλείφεται μὲ ψαρέλαιον καὶ οὐ κινδυνεύσει.

Τέλος τῆς γενεαλογίας τῶν ἀνθρώπων εἰς τῶν ιβ' μηνῶν τὰ ζώδια.

1 *ἀλείφετε* cod. 3-4 *τῶν ζωδίον* cod.

Davidis et Salomonis Lunarium.

Hoc scriptorum genus exemplis a Bassi et Martini et a P. Boudreaux editis (*Catal.*, III, p. 32, ex cod. Mediol. 16, f. 39^{v} et VIII, 4, p. 105, ex Paris. 68, f. 150^{v}) notum est ; cf. Nau, *Revue de l'Or. chrét.* 1907, p. 16 sq., Reitzenstein, *Poimandres*, p. 271. Saepissime in codicibus huiusmodi opuscula inveniuntur : *Catal.*, I, p. 74 (20, f. 242), III, p. 3 (1, f. 20), III, p. 32 (16, f. 39^{v}), IV, p. 44 (18, f. 333^{v}), IV, p. 142 (19, f. 956), VII, p. 59 (26, f. 150), VII, p. 62 (26, f. 177^{v}), VII, p. 70 (31, f. 257), VIII, 3, p. 13 (37, f. 166^{v}), p. 17 (39, f. 650^{v}), p. 34 (44, f. 331), p. 88 (61, f. 59^{v}), VIII, 4, p. 74 (96, f. 188), pp. 9 et 105 (68, f. 150^{v}), sub titulis variis : *σεληνοδρόμιον* (III, 32, IV, 44, VII, 62, VIII, 4, p. 9), *προφητολόγιον τὸ σε<ληναῖον>* (III, 32), *σελήνης προγνωστικὸν τῶν ἡμερῶν*, (VIII, 3, 88, cod. Athen. 26), *διαγνωστικὸν τῶν τῆς σελήνης ἡμερῶν* (VII, 59), vel simpliciter (*ἑρμηνεία*) *περὶ τῶν ἡμερῶν* cui titulo nonnumquam haec verba adduntur : *τῆς σελήνης τῶν τε ἀγαθῶν καὶ πονηρῶν* (I, 74, VIII, 3, 17, cod. Athen. 11). Pleraque sine auctoris nomine traduntur ; nonnulla Aristoteli (VIII, 3, 17), alia Esdrae prophetae (VIII, 3, 88, cod. Athen. 26), Melampodi (VIII, 4, 9), vel etiam Davidi et Salomoni, ut in hoc codice, adscribuntur.

Singulos Lunae dies scriptor recenset, ut doceat : a) quibus inceptis dies faustus sit, quibus infaustus ; b) num aegrotans ad sanitatem rediturus sit ; c) quam virtutem somnium habeat ; d) num servum fugitivum resve amissas recuperaturus sis ; e) qualis sit hominum indoles illo ipso die natorum ; f) quod periurii fatum. Quorum capitulorum praecipuum est primum, de inceptis scilicet : ab ista materie accurate distinguendi sunt libelli *ἀποτελέσματα τῆς σελήνης* inscripti (cf. codd. Athen. 9, f. 5, et 23, f. 1, supra, pp. 71 sq). in quibus indicatur quae negotia suscipere, quas artes magicas exercere singulis Lunae diebus expediat. Cetera capitula lunariorum levioris momenti sunt et velut additamenta ex singularibus libris assumpta esse videntur. Cuius generis tractatus hosce commemorare possum :

a) *προγνωστικὰ περὶ ἀσθενείας καὶ ὑγιείας*, nonnumquam et illa *σεληνοδρόμιον* inscripta : *Catal*,, III, p. 39 (16, f. 47), codd. Athen. 10, f. 44v, et 25, f. 56v. Cf. etiam *Catal.*, III, p. 15 (23, f. 242v), VIII, 3, p. 34 (44, f. 330), p. 35 (44, f. 332v), p. 80 (59, f. 35). VIII, 4, p. 12 (73, f. 211v), p. 15 (74, f. 103), p. 17 (75, f. 263), p. 74 (95, f. 273), p. 80 (111, f. 134).

b) *ὀνειροκριτικὰ τῆς σελήνης* : Athen. 11, f. 105 ; cf. *Catal.*, IV, p. 55 (19, f. 237v), VII, p. 43 (24, f. 11v), VIII, 3, p. 41 (44, f. 428v), VIII, 4, p. 70 (89, f. 26).

c) *μαντεία περὶ τῶν δραπετευόντων, τῶν ἀπολωλότων καὶ τῶν κλοπιμαίων.*

d) *προγνωστικὰ περὶ τῶν γεννηθέντων.*

e) *προγνωστικὰ περὶ ὅρκου καὶ ἐπιορκίας.*

Ceterum mixturam non absimilem divinationum in alio lunariorum genere invenies, quorum praesagia ex Lunae in signifero orbe positionibus definiuntur (*Catal.*, IV, p. 139 [19, f. 393]).

Generis lunariorum antiquissimi exemplum codice Italico 19, f. f. 396 (*Catal.*, IV, p. 142, cf. VIII, 4, p. 105, Paris. 68, f. 150v), praeberi mihi videtur. Astrologicam enim originem aperte praefert, cum singula capitula a definitione *σχηματισμῶν τῆς Σελήνης* incipiant. Cuius definitionis omissae locum tenent in cod. Mediol. 16, f. 39v (*Catal.*, III, p. 32) dei alicuius natalis mentio atque veteris Testamenti viri illustris memoria. In illo opusculo mixta esse duo scriptorum genera initio plane diversa apparet : Hebraicorum enim fastorum commemoratio Iudaeo vel Christiano auctori tribuenda est, qui gentilem mythologiam expellere voluerit. Ceterum pleraque exempla codicum hebraicam formam lunarii exhibent : qua correctione non modo religio mutata est, verum etiam ipsa doctrina astrologica nonnumquam deflexa. Quod perspicere possis, si discrepantias quae inter IV, p. 142 et III, p. 32 exstent, consideres, coniunctionem autem hebraicae historiae cum singulorum dierum adfectatione deprehendas.

Hoc lunarium Iudaicam speciem exhibet : vestigium tamen antiquioris formae in Apollinis natalis mentione (VII° die) retinuit.

[F. 22] *Ἀρχὴ τοῦ σεληνοδρομίου τοῦ προφήτου Δαβὶδ καὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος.*

.... *Εἰς τὰς ε′* · ***..... *τὸ γεννηθὲν> ἄρσεν ἐπίορκον καὶ παράβουλον· εἰ δὲ θῆλύ ἐστιν, πράξει παράβουλα εἰς τοὺς ἰδίους γονεῖς. ὁ φυγὼν δυσκόλως εὑρεθήσεται. ὁ ἀρξάμενος ἀσθενεῖν τελευτᾷ. τὸ ἐνύπνιόν σου, ἐὰν ἴδῃς, μὴν τὸ ἀναγγείλῃς.*

3 *σολομόν* cod. 4 *πλὶν ἐδῶ ὅπου τοῦ ἀντίγραφα ἔλιπεν καὶ ἐκῖνο τὸ βιβλίον ἕως καὶ τὰς ε′ ἡμέρας· εἰς τὴν α′* (vacat), *εἰς τὴν β′* (vacat), *εἰς τὴν γ′* (vacat), *εἰς τὴν δ′* (vacat), adnotavit librarius. *ε′*]*** lacunam sign, 5 *ἐν τοῖς ἰδίοις* cod. 7 *μήν = μή.* *ἀναγκίλις* cod.

Ἡμέρα ς′ · ἐν αὐτῇ Κάϊν ἐφονεύθη καὶ Νεβρὼδ ἐγεννήθη. καὶ ἔσται καλὴ εἰς πᾶν πρᾶγμα πραγματεύεσθαι, τέχνας μανθάνειν, σώματα καὶ τετράποδα ὠνήσασθαι, κυνηγᾶν, ἁλιεύειν, γάμους ποιεῖν, σπέρνειν, θερίζειν. ὁ γεννηθεὶς ἔσται κακοπάθητος καὶ δυσανάτροφος· ἐὰν δὲ κοράσιον γεννηθῇ, ἀλλότριον καὶ δραπετικόν. ὁ ἀσθενῶν ὑγιαίνει καὶ [f. 22v] *ὁ φυγὼν μετὰ ἡμέρας* ** *εὑρεθήσεται· καὶ τὸ ἐνύπνιον ἀποβήσεται ἐν τάχει.*

Ἡμέρα ζ′ : ἐν αὐτῇ τῇ ἡμέρᾳ Ἄβελ ἐφονεύθη ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Κάϊν καὶ ὁ Ἀπόλλων ἐγεννήθη. αὔτη ἡμέρα καλὴ σπέρνειν, θερίζειν, βότανα ἰατρικὰ σωρεύειν καὶ ἐντεύξεις ποιεῖν, πρόσωπα ἐντυγχάνειν, κείρειν κεφαλήν. ὁ γεννηθεὶς ἔσται πάντεχνος, σοφὸς καὶ ἰσχυρός· ἔστιν δὲ ὀλιγοχρόνιος, εἰς τὸ πωλεῖν καὶ ἀγαράζειν δόκιμος· σημεῖον ἕξει ἐν τῷ ποδὶ τῷ δεξιῷ· εἰ δὲ θῆλυ, ἔσται ἰάτρινα. ὁ φυγὼν σωθήσεται. ὁ ἀσθενῶν ταχέως τελευτᾷ.

Ἡμέρα η′ · ἐν αὐτῇ Μαθουσάλας ἐγεννήθη· αὔτη ἐστὶ καλὴ πωλεῖν καὶ ἀγοράζειν πᾶν πρᾶγμα ὃ θέλεις. ὁ γεννηθεὶς ὠφέλιμος, καὶ ζήσεται ἔτη οε′. ὁ φυγὼν εὑρεθήσεται. ὁ ἀσθενῶν ὑγιαίνει ἐν τάχει.

Ἡμέρα θ′ · ἐν αὐτῇ Χὰμ ἐγεννήθη· αὔτη ἐστὶν μέσον δύο, οὔτε καλὴ οὔτε κακή. ἐν αὐτῇ εἴ τι βούλει, ποίησον μετὰ προσοχῆς. ὁ φυγὼν δεμένος ἀχθήσεται. ὁ νοσῶν ἀρξάμενος μακρονοσεῖ. τὸ λαβόμενον κρυβήσεται· καὶ τὸ ἐνύπνιον διὰ ἡμέρας θ′ ἀποβήσεται.

[F. 23] *Εἰς τὰς δέκα ἡμέρας Νῶε ἐγεννήθη· αὔτη ἐστὶν <καλὴ> ἀγροὺς γεωργεῖν, σώματα ἀγοράζειν, παιδία εἰς μάθεσιν διδόναι. τὰ γενόμενα εὔτυχα καὶ πολυχρόνια. ὁ φυγὼν εὑρεθήσεται. τὸ ἀπολόμενον κρυβήσεται. ὁ νοσῶν ἀρξάμενος τελευτᾷ· καὶ τὸ ἐνύπνιόν σου ἀποβήσεται ἐν τάχει.*

<Εἰς τὰς> ἡμέρας ια′ · *** · *ἐν αὐτῇ εἴ τι βούλει, πρᾶττε· μὴ φοβοῦ πλέειν, γάμους ποιεῖν, πραγματεύεσθαι, θεμέλια ὀρύττειν, πωλεῖν, ἀγοράζειν. ὁ φυγὼν ταχέως εὑρεθήσεται. ὁ νοσῶν ἀρξάμενος ταχέως ὑγιαίνει· εἰ δὲ μακρονοσεῖ, τελευτᾷ.*

Εἰς τὰς ιβ′ τῆς Σελήνης, Νῶε τὴν θυσίαν προσήγαγε τῷ Θεῷ· αὔτη ἐστὶ καλὴ θυσίαν ποιεῖν, σπέρνειν, θερίζειν. δούλους μὴ ἀγοράζῃς ὅτι φεύγουν καὶ ἀπολοῦνται. τὰ γενόμενα δυσανάτροφα· ἐὰν δὲ εἰς ἡλικίαν φθάσουν, εἰς πολλὰ καλὰ περιπεσοῦνται. ὁ νοσῶν ἀρξάμενος τελευτᾷ ἐν τάχει.

1 *ἐγενήθη, γενηθεὶς* etc. constanter scribit librarius. *Νεβρώδ* scripsi : *χεβρὸν* cod. 6 deest dierum numerus. 11 *ἐντυχάνιν* cod. *πρόσωπα ἐντυγχάνειν* interpr. verb. *ἐντ. ποιεῖν.* 13 *τῷ ποδί* scripsi : *τόπο* cod. *ἔσται*] *ἐστὶν* cod. 19 *ἐν αὐτῇ* scripsi : *ἕκαστος* cod. 21 *λαβόμενον = ληφθέν.* 22 *καλή* inserui. 23 *γενόμενα* (= *γεννώμενα*) hic et infra, corrigere nolui. 27 *εἰς τὰς* inserui. *ια′*] *** lacunam sign. 34 *καλὰ*] cum *περιπεσοῦνται* exspectes *κακά.* 35 *τελευτᾷ*] vide num hic exciderint verba : *καὶ τὸ ὄνειρον ἀποβήσεται.*

<Εἰς τὰς> ιγ´ .....

Εἰς τὰς ιδ´, Νῶε εὐλόγησε τὸν Σὴμ · αὕτη ἐστὶ καλὴ ἐν παντὶ πράγματι ὃ ἐὰν ποιήσῃς · ὅσοι δὲ ἐν κριτηρίῳ εἰσὶ βραδέως ἀπολυθήσονται · ἀπὸ μάχης φιλίαν ποιήσουσιν. γάμους ποιεῖν, πραγματεύεσθαι. [f. 23v] τὰ γενόμενα εὔτυχα καὶ πολυχρόνια. ὁ φυγὼν εὑρεθήσεται. ὁ ἀσθενῶν ὑγιαίνει · καὶ τὸ ἐνύπνιον ἀποβήσεται ἐν τάχει.

Εἰς τὰς ιε´, αἱ γλῶσσαι τῶν οἰκοδομούντων τὸν πύργον εἰς πολλὰς μετηλλάγησαν · αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ κάμινον συσκευάζειν, ἀκάνθας τοῦ ἀγροῦ ἐκκαθαίρειν, σίδηρα χαλκεύειν, οἴκους οἰκοδομεῖν · εἰς μάθεσιν παραδίδειν, ὑφαίνειν, πωλεῖν, ἀγοράζειν. ὁ γεννηθεὶς ἔσται μοχθηρός, παντευχὴς καὶ γλωσσώδης. ὁ φυγὼν δεμένος εὑρεθήσεται ἐν τάχει.

Εἰς τὰς ις´, Ναχὼρ ἐγεννήθη καὶ ὠδύνησεν γεννηθῆναι · αὕτη ἡμέρα καλὴ παραδιδόναι εἰς μάθησιν τῆς μουσικῆς καὶ εἰς ὄργανα · σπέρνειν, θερίζειν, ἀγροὺς ἀγοράζειν, θεμέλια τιθέναι. ὁ γεννηθεὶς μέγας ἔσται καὶ μέθυσος εἰς νεότητα καὶ εἰς γῆρας · ἕξει σημεῖον εἰς τὴν κεφαλήν · τὸ γεννηθὲν κοράσιον ἐν αὐτῇ τῇ ἡμέρᾳ ***.

Εἰς τὰς ιζ´, τὰ Σόδομα καὶ Γόμορρα κατεστράφησαν · <αὕτη ἡμέρα καλὴ> θερίζειν, κουρεύειν τὸν πώγωνα καὶ τὴν κεφαλήν · εἰς ὁδοιπορίαν μὴ ἐξέλθῃς μηδὲ εἰς δικαστήριον μήτε ἀντιφωνητὴς γενηθῇς. τὰ γενόμενα [f. 24] ὀλιγόχρονα. ὁ νοσῶν ἀρξάμενος κινδυνεύσει καὶ ἐπὶ κινδύνου τελευτήσει. καὶ τὸ ἐνύπνιον ἀποβήσεται ἐν τάχει.

Εἰς τὰς ιη´, Ἰσαὰκ ἐγεννήθη · ἐν αὐτῇ τῇ ἡμέρᾳ κήπους ἀρδεύειν, φρέατα ὀρύσσειν. τὰ γεννηθέντα παιδία προγνωστικὰ ἔσονται. ὁ ἀσθενῶν ἀναστήσεται · καὶ τὸ ἐνύπνιον καλὸν καὶ ἀγαθὸν ἔσται.

Εἰς τὰς ιθ´, Ἰακὼβ ἐγεννήθη · αὕτη ἡμέρα <καλὴ> μισθοὺς ποιεῖν. τὰ γενόμενα πολύχρονα · εἰ μὲν ἄρσεν ἐστίν, ζήσεται πολύ. ὁ ἀσθενῶν ὑγιαίνει · καὶ τὸ ἐνύπνιον ἀποβήσεται καλόν.

Εἰς τὰς κ´, εὐλόγησεν ὁ Ἰσαὰκ τὸν Ἰακὼβ · ἐν αὐτῇ ἡμέρᾳ εὐχὴν ἀποδιδόναι καλόν, σπόρον ἐκβαλεῖν, ἀγροὺς ἀρδεύειν, οἶνον καὶ μέλιν διαχέειν, πωλεῖν, ἀγοράζειν καὶ τοῖς μείζοσιν · ὁμιλεῖν. ὁ φυγὼν εἰς μύλον εὑρεθήσεται. τὰ γενόμενα εὔτυχα καὶ πολύχρονα · καὶ ὁ ἀσθενῶν ἀναστήσεται.

1 εἰς τὰς inserui. ιγ´] + λείπεται in margine. 4 φιλίας cod. 9 πολλάς scripsi : πληγάς cod. καμίων cod. 11 πουλῖν cod. ἀγαράζειν cod. 12 παντευχής ex παντέχνης corruptum esse suspicor. 13 ἐν τάχει : cf. p. 123, v. 35. 16 ἀγοράζειν] num ἀροτρεύειν restituendum ? 18 *** lacunam indicavi. 19 αὕτη ἡμέρα καλή inserui. 20 κουρέβιν cod. 22 γενηθῇς] γενήσεται cod. νοσόν cod. 26 ὀρύσκιν cod. 28 καλή inserui. 32 ἀρχεύειν cod.

Εἰς τὰς κα´, ὁ Ἠσαῦ εὐλογήθη παρὰ τοῦ Ἰσαάκ · αὕτη ἡμέρα εἰς οὐδὲν χρησιμεύει, εἰ μὴ μόνον χοίρους καὶ κριοὺς καὶ βόας καὶ ἵππους εὐνουχίζειν. τὰ [f. 24v] γεννηθέντα τέκνα μισητὰ ἔσονται. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρυβήσονται. ὁ νοσῶν βαρέως κινδυνεύει · καὶ τὸ γενόμενον πορνικόν, μεστὸν κατάρας καὶ κακότεχνον ἔσται.

Εἰς τὰς κβ´, ὁ πάγκαλος Ἰωσὴφ ἐγεννήθη · ἐν αὐτῇ καλόν ἐστιν πωλεῖν καὶ ἀγοράζειν, ἀγροὺς ἐπιμελεῖσθαι, ἐργάτας μισθοῦσθαι. τὰ γεννηθέντα ὡς νεόφυτα θάλλουσι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον μισοφανεῖς ἔσονται. ὁ ἀσθενῶν ὑγιαίνει · καὶ τὸ ἐνύπνιον ἀποβήσεται ἐν τάχει.

Εἰς τὰς κγ´, Βενιαμὶν ἐγεννήθη · αὕτη ἡμέρα καλὴ καὶ ἀγαθὴ εἰς πᾶσαν πρᾶξιν ποιητικήν, οἰκίαν ἐπιμελεῖσθαι. ὁ φυγὼν εἰς ἱκετείαν ἥξει. ὁ νοσῶν ὑγιαίνει. τὰ γεννηθέντα τέκνα ὀλιγόζωα ἔσονται. τὸ ἀπολλύμενον εὑρεθήσεται καὶ τὸ ἐνύπνιον ἀποβήσεται.

Εἰς τὰς κδ´ · ἐν αὐτῇ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐγεννήθη · *** καὶ τὸ γεννηθὲν παιδίον ὁλόκληρον τοῖς γονεῦσι ἔσται καὶ ζήσεται ἔτη πθ´. ὁ ἀποδημήσας στρατιώτης ἐν πολέμῳ ἀχθήσεται ὑγιής · ὁ πραγματεύσας, εἰς κέρδος ἔσται. [f. 25] ὁ νοσῶν ταχέως τελευτᾷ. τὸ ἀπολλύμενον ταχέως εὑρεθήσεται · καὶ τὸ ἐνύπνιον αὐτῆς ἀποβήσεται.

Εἰς τὰς κε´, Φαραὼν ἐγεννήθη · παντὸς πράγματος ἀπέχου · μήτε πωλεῖν μήτε ἀγοράζειν, μήτε πλέειν, μήτε εἰς ὁδὸν ἐξελθεῖν ἢ δούλους ἀγοράζειν. τὸ γεννηθὲν παιδίον ὑπὸ σιδήρου τελευτᾷ. ὁ ἀναχωρήσας δοῦλος εὑρεθήσεται. ὁ νοσῶν δυσκόλως ὑγιαίνει. ὁ κλέψας οὐχ εὑρεθήσεται · καὶ τὸ ἐνύπνιον εἰς ἡμέρας η´ δηλοῖ.

Εἰς τὰς κς´, Μωϋσῆς ὁ προφήτης ἐγεννήθη · αὕτη καλὴ καὶ ἀγαθὴ εἰς πᾶσαν πρᾶξιν, πωλεῖν, ἀγοράζειν, σπέρνειν, θερίζειν, πλέειν καὶ κυνηγᾶν, εἰς μάθεσιν τέχνης διδόναι. τὸ γεννηθὲν ὑποκίνδυνον ἔσται καὶ πάντα νοσεῖ. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον καὶ ὁ κλέψας οὐχ εὑρεθήσονται. ὁ νοσῶν ὑγιαίνει καὶ τὸ ἐνύπνιον ἀποβήσεται.

Εἰς τὰς κζ´, οἱ υἱοὶ Ἰσραὴλ ἐξῆλθον ἐξ Αἰγύπτου · αὕτη καλὴ εἰς πᾶσαν πρᾶξιν, πωλεῖν, ἀγοράζειν, γάμους ποιεῖν. τὸ γεννηθὲν ὀλιγόχρονον, ἐὰν ἄρσεν ἔσται · εἰ δὲ θῆλυ, ζωτικόν. καὶ ὃς

